ἀλλ᾽ ἡσύχαζε καὶ δακρυρρόους τέκνων
πηγὰς ἀφαίρει καὶ παρευκήλει λόγοις,
κλέπτουσα μύθοις ἀθλίους κλοπὰς ὅμως.
κάμνουσι γάρ τοι καὶ βροτῶν αἱ συμφοραί,
καὶ πνεύματ᾽ ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει,
οἵ τ᾽ εὐτυχοῦντες διὰ τέλους οὐκ εὐτυχεῖς·
ἐξίσταται γὰρ πάντ᾽ ἀπ᾽ ἀλλήλων δίχα.
οὗτος δ᾽ ἀνὴρ ἄριστος ὅστις ἐλπίσι
πέποιθεν ἀεί· τὸ δ᾽ ἀπορεῖν ἀνδρὸς κακοῦ.

## ΧΟΡΟΣ.

ὑπώροφα μέλαθρα στρ.
καὶ γεραιὰ δέμνι᾽, ἀμφὶ βάκτροις
ἔρεισμα θέμενος, ἐστάλην ἰηλέμων
γόων ἀοιδὸς, ὥστε πολιὸς ὄρνις,
ἔπεα μόνον καὶ δόκημα νυκτερωπὸν
ἐννύχων ὀνείρων,
τρομερὰ μὲν, ἀλλ᾽ ὅμως πρόθυμα.
ὦ τέκεα πατρὸς ἀπάτορ᾽, ὦ
γεραιὲ, σύ τε, τάλαινα μᾶ-
τερ, ἃ τὸν Ἀΐδα δόμοις
πόσιν ἀναστενάζεις.
μὴ προκάμητε πόδα ἀντ.
βαρύ τε κῶλον, ὥστε πρὸς πετραῖον
†λέπας ζυγηφόρον πῶλον ἀνέντες, ὡς
βάρος φέρων τροχηλάτοιο κώλου.
λαβοῦ χερῶν καὶ πέπλων, ὅτου λέλοιπε
ποδὸς ἀμαυρὸν ἴχνος·
γέρων γέροντα παρακόμιζε,
τὸ πάρος ἐν ἡλίκων πόνοις
ᾧ ξύνοπλα δόρατα νέα νέῳ
ξυνῆν ποτ᾽, εὐκλεεστάτας
πατρίδος οὐκ ὀνείδη.
ἴδετε, πατρὸς ὡς ἐπῳδ.
γοργῶπες αἵδε προσφερεῖς
ὀμμάτων αὐγαί.